GREK 2051 (Spring 2011)

# BIBLICAL READINGS

supplement to Shelmerdine 2nd edition

## Chapter 28

The temptation of Christ.

Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. 2
καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα ὕστερον ἐπείνασεν. 3 Καὶ
προσελθὼν ὁ πειράζων εἶπεν αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι
γένωνται. 4 ὁ δὲ ἀποκριθεὶς εἶπεν, Γέγραπται, Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος,
ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. 5 Τότε παραλαμβάνει αὐτὸν ὁ
διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, 6 καὶ λέγει
αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γὰρ ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ
ἐντελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα
σου. 7 ἔφη αὐτῷ ὁ Ἰησοῦς, Πάλιν γέγραπται, Οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου. 8 Πάλιν
παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς
βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν, 9 καὶ λέγει αὐτῷ, Ταῦτά σοι πάντα δώσω ἐὰν
πεσὼν προσκυνήσῃς μοι. 10 τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὕπαγε, Σατανᾶ· γέγραπται γάρ,
Κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις. 11 Τότε ἀφίησιν αὐτὸν ὁ
διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ.

(Κατὰ Μαθθαῖον 4.1-11)

ἅγιος -α –ον holy
αἴρω, ἀρῶ raise
ἀνάγω lead up
ἄρτος –ου ὁ bread
ἀφίησιν < ἀφίημι let go, leave
βασιλεία –ας ἡ kingdom
γέγραπται "it is written"
διάβολος –ου ὁ slanderer, the Devil
διακονέω serve, minister
ἐκπειράζω test, tempt
ἐκπορεύομαι journey out
ἐντέλλομαι command, give orders to
ἔρημος –ου ἡ desert
ζάω live
ἱερόν -οῦ τό temple
ἰδοὺ Look!
κάτω down
κόσμος –ου ὁ cosmos, world, universe
κύριος –ου ὁ lord
λατρεύω serve, worship
λίαν too (much)
μήποτε never
μόνος –η –ον only, alone
νηστεύω fast
ὄρος –ους τό mountain
πάλιν again
παραλαμβάνω take to
πεινάω be hungry
πειράζω test, tempt
ἔπεσον < πίπτω fall
πνεῦμα –ατος τό breath, spirit, life
πούς ποδός ὁ foot
προσέρχομαι go to
προσκόπτω stumble, strike on
προσκυνέω kneel, worship, bow down
πτερύγιον –ου τό parapet, pinnacle
ῥῆμα –ατος τό spoken word
στόμα –ατος τό mouth
τεσσαράκοντα forty
υἱός, υἱοῦ ὁ son
ὑπάγω depart, go away
ὕστερον afterward, later, finally
ὑψηλός –ή –όν high, sublime
χείρ, χειρός ἡ hand